UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

XXI

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

## XXI ΜΙΚΡΟΦΙΛΟΤΙΜΙΑΣ ΚΑʹ

1 Ἡ δὲ μικροφιλοτιμία δόξει εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος,
2 ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις, οἷος σπουδάσαι ἐπὶ δεῖπνον
κληθεὶς παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι.
3, 4 καὶ τὸν υἱὸν ἀποκεῖραι ἀγαγὼν εἰς Δελφούς. καὶ ἐπιμελη-
5 θῆναι δέ, ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται. καὶ ἀπο-
6 διδοὺς μνᾶν ἀργυρίου καινὸν ποιῆσαι ἀποδοῦναι. καὶ κολοιῷ
δὲ ἔνδον τρεφομένῳ δεινὸς κλιμάκιον πρίασθαι καὶ ἀσπίδιον
χαλκοῦν ποιῆσαι, ὃ ἔχων ἐπὶ τοῦ κλιμακίου ὁ κολοιὸς πηδή-
7 σεται. καὶ βοῦν θύσας τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς
εἰσόδου προσπατταλῶσαι, στέμμασι μεγάλοις περιδήσας,
8 ὅπως οἱ εἰσιόντες ἴδωσιν, ὅτι βοῦν ἔθυσε. καὶ πομπεύσας
μετὰ τῶν ἱππέων τὰ μὲν ἄλλα πάντα δοῦναι τῷ παιδὶ
ἀπενεγκεῖν οἴκαδε, ἀναβαλόμενος δὲ θοἰμάτιον ἐν τοῖς μύωψι
9 κατὰ τὴν ἀγορὰν περιπατεῖν. καὶ κυναρίου δὲ Μελιταίου
τελευτήσαντος αὐτῷ μνῆμα ποιῆσαι καὶ στηλίδιον ποιήσας
10 ἐπιγράψαι ' κλάδος Μελιταῖος '. καὶ ἀναθεὶς δακτύλιον
χαλκοῦν ἐν τῷ Ἀσκληπιείῳ τοῦτον ἐκτρίβειν στεφανοῦν
11 ἀλείφειν ὁσημέραι. ἀμέλει δὲ καὶ συνδιοικήσασθαι παρὰ
τῶν πρυτάνεων, ὅπως ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερά, καὶ παρε-

---

M : Περὶ μικροφιλοτιμίας καʹ. Ἡ μικροφιλοτιμία ὄρεξις ἐστι τιμῆς ἀνελευθέρου οἷον εἴ τις κεκλημένος ἐπισπεύσειεν. καὶ ἀργύριον ἀποδιδούς ἀποδιδοίη καινόν. καὶ θριάμβους αὐλαίους ποιεῖν καὶ κυναρίου μελιταίου τελευτήσαντος μνῆμα ποιῆσαι. καί τι ἀναθέμενον διευθετεῖν.

---

XXI. 2 δόξειεν ⟨ἂν⟩ εἶναι recc. 5 ἀγαγεῖν Foss : ἀπαγαγὼν recc. : ἀναγαγὼν Schneider 7 ἀργυρίου, corr. ex ἀργύριον V ποιῆσαι corrupte V : πονῆσαι Darbaris : πορίσας Usener : [ποιῆσαι] Haupt : περιποιήσας (servato ἀργύριον) scripserim 11 προσπατταλεῦσαι recc. 14 ἀναβαλλόμενος V : corr. Meier 16 μνῆμα ποιῆσαι καὶ del. Hanow ποιήσας V : ἐπιστήσας conieci 17 δακτύλιον V (cf. Inscr. gr. ii 835, 9) : δάκτυλον Naber (cf. I. G. ii 835, 6 al.) 18 στεφανοῦν Giesecke : στεφανοῦντα V 19 συνδιοικίσασθαι V : corr. recc. ; συν ante πρυτάνεων bene transp. Herwerden ⟨τὰ⟩ παρὰ τῶν Casaubon

Ἀσθένεια δὲ μικρο...

Begriff und Vertr.
(~ ἀλαζών / λεπτικός)

χαλκοῦς

der Kitte (Kleinkariertes Gruppe φ. γλισχρικά, μικρολογία)

Geltungssucht
δειδ, δανδη "schäbiger Bürger"

ἀνελεύθερος : μικρός ... Bereicherung ...

- δεῖπνον

Haarschnitt

Geld

κολοιός Dohle

Haustier (vgl. Catull - Martial ... Lesbia)

Opfertier ( ~
(Hausschmuck)

πομπή (ἱππεῖς) : Öffentlichkeit
ὀμφάκιον Zierlmantel
μύωψι mit dem Sporn (~ wichtig für den Reiter glor-
μύωψ. ὁ ... Sporn, calcar ... tzeus)
(Xenoph. Polyb. Anth. Pal.)

Haustier

Opfergabe
κλάδος "Sprößling"
... Stück zu ...
... : bei ... ausmachen
... τὰ ἱερά : ...

"Stottern" des μακεδ.?: (Steinacker?)

γαλαξια Milchbreiopfer

εὐημερεῖν Erfolg haben (in d. Öffentlichkeit)

σκευασμένος λαμπρὸν ἱμάτιον καὶ ἐστεφανωμένος παρελθὼν εἰπεῖν· ‘ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις [τὰ ἱερὰ] τῇ Μητρὶ τῶν θεῶν τὰ Γαλάξια, καὶ τὰ ἱερὰ καλά, καὶ ὑμεῖς δέχεσθε τὰ ἀγαθά’. καὶ ταῦτα ἀπαγγείλας ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ αὑτοῦ γυναικί, ὡς καθ’ ὑπερβολὴν εὐημέρει.

## ΑΝΕΛΕΥΘΕΡΙΑΣ ΚΒ΄ XXII

Ἡ δὲ ἀνελευθερία ἐστὶν ἀπουσία τις [ἀπὸ] φιλοτιμίας 1
δαπάνην ἐχούσης, ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις, οἷος νικήσας 2
τραγῳδοῖς ταινίαν ξυλίνην ἀναθεῖναι τῷ Διονύσῳ, ἐπιγράψας
μὲν αὑτοῦ τὸ ὄνομα. καὶ ἐπιδόσεων γιγνομένων ἐκ τοῦ δήμου, 3
ἀναστὰς σιωπῇ ἐκ τοῦ μέσου ἀπελθεῖν. καὶ ἐκδιδοὺς αὑτοῦ 4
θυγατέρα τοῦ μὲν ἱερείου πλὴν τῶν ἱερέων τὰ κρέα ἀποδόσθαι,
τοὺς δὲ διακονοῦντας ἐν τοῖς γάμοις οἰκοσίτους μισθώσασθαι.
καὶ τριηραρ⟨χῶν τὰ μὲν το⟩ῦ κυβερνήτου στρώματα αὑτῷ ἐπὶ 5
τοῦ καταστρώματος ὑποστόρνυσθαι, τὰ δὲ αὑτοῦ ἀποτιθέναι.
καὶ τὰ παιδία δὲ δεινὸς μὴ πέμψαι εἰς διδασκάλου, ὅταν ᾖ 6
[τοῦ ἀποτιθέναι καὶ τὰ παιδία] Μουσεῖα, ἀλλὰ φῆσαι κακῶς
ἔχειν, ἵνα μὴ συμβάλωνται. καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας 7

22 τὰ ἱερὰ (ante τῇ) del. Petersen 23 Γαλάξια Wilamowitz (cf. Bekk. An. p. 229, 25): γὰρ ἄξια V 24 ἀπιὼν οἴκαδε colloc. Hanow 26 εὐημερεῖν V: corr. Needham: εὐημερεῖ recc.

XXII. 2 ἀπουσία Schweighäuser: περιουσία V ἀπὸ V (est emendata lectio ad περιουσία pert.): del. Schweighäuser (περιουσία τις ἀφιλοτιμίας Casaubon) 3 ἐχούσης scripsi: ἔχουσα V: φεύγουσα Casaubon: φευγούσης Kayser νικῆσαι V: corr. Lycius 4 τραγωδοὺς V: corr. Casaubon ἐπιγράψας (ας in ras.) μὲν corrupte V: ἐπιγραψάμενος Schneider: ἐπιγράψας μέλανι Madvig 5 αὐτοῦ V: αὐτὸς Sudhaus γινομένων V 6 σιωπῇ Needham: σιωπᾶν ἢ V αὐτοῦ V 7 ἱερέων breviter dictum tuetur Wendland: ἱερῶν Casaubon (cf. Stengel *Herm.* 39, 617) 9 τριηραρ κυβερνήτου, lacuna in mrg. cruce signata, V: suppl. recc., μὲν ego στρῶμα ταυτὸν V: corr. Meier 10 ὑποστορέννυσθαι V: correxi αὐτοῦ V 12 τοῦ . . . παιδία iterata ex vv. 10. 11 del. Corais μουσία V